# ΝΕΑΡΩΝ

ἸΟΥΣΤΙΝΙΑΝΟΥ͂ ΒΑΣΙΛΈΩΣ
ΤΩ͂Ν ἘΝ Τῼ͂ ΝΥ͂Ν ΕὙΡΙ-
ΣΚΟΜΈΝΩΝ ΚΑῚ ὩΣ
εὑρίσκουσι βιβλίον, τοῦ Γρη-
γορίου Ἁλοάνδρου
ἐξηγητοῦ.

Οἱ κανόνες τῶν ἁγίων Ἀποστόλων διὰ
Κλήμεντος ἀθροισθέντες.

Ἡ ἀπορία καὶ πολύπλοκος ἀνάγνωσις
τῶν ἑλληνικῶν διατάξεων.

PARISIIS

Ex officina Carolæ Guillard sub sole aureo,
Via ad diuum Iacobum.

1542

BIBLIOTECA UNIVERSITARIA - SALAMANCA -

# D. ANDREAE ALCIATI DE Iustiniani nouellis, & cur authentica hodie uocentur ratio.

QVum interrogatus quandoq; essem, unde fieret ut constitutionū Iustiniani uolumen, authētici nomine citaremus, cum tamē nusquā appareat hunc ei titulum ab ipso legislatore præfixū esse, sic respondendū duxi, æditū esse eū librū Græco sermone, & constitutiones eas Græce νεαρὰς appellatas fuisse, uerum cum Asiatica quadam luxuria diffusus, prolixitateq; nimia scriptus liber esset, translatum latine à Iuliano Patritio & exconsule fuisse, sed cōpendiosius, & stylo ut tum tēpora ferebāt non inelegante, qui liber adhuc extat, & nouellæ titulo circūfertur, dubio procul legitimus Iustiniani ipsius partus, quem tamen doctores nostri ut spurium reiecerunt, maluitq; Accursius barbaram & Bulgari tempore factam translationē interpretari, quod uberior ei uideretur, ideoq; authenticam appellauit, quoniam ex ipso Græco originali ad literam traducta esset. Sanè authenticon pro re certæ fidei poni constat, non solum apud Iulianum Paulūq; Iuriscon. sed etiam apud Ciceronē epist. ad Atticū li. ix. & lib. x. Tametsi Gaza libello de mensibus hanc uocem apud ueteres hoc sensu non reperiri scribat, sed eos qui citra mille annos scripsere, hac dictione αὐθέντης uti cœpisse, ut eū exprimeret quem latini auctorem dicunt: olim enim idē significabat quod αὐτόχειρ, id est propria manu aliquid patrans.

# ΤΩΝ ΝΕΑΡΩΝ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΑΥΓΟΥΣΤΟΥ ΒΙΒΛΙΟΝ.

## Περὶ κληρονόμων, καὶ τοῦ φαλκιδίου. διάταξις α.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος, Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ β΄. ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

Ἐνασχολουμένοις ἡμῖν περὶ τὰς ἁπάσας τῆς πολιτείας φροντίδας, καὶ μικρὸν οὐδὲν αἱρουμένοις ἐννοεῖν, ἀλλ᾽ ὅπως ἂν Πέρσαι ἠρεμοῖεν, Βανδίλοι δὲ σὺν Μαυρουσίοις ὑπακούοιεν, Καρχηδόνιοι δὲ παλαιὰν ἀπολαβόντες ἐλευθερίαν ἔχοιεν, Τζάνοι τε νῦν πρῶτον ὑπὸ τὴν Ῥωμαίων γενόμενοι πολιτείαν, ἐν ὑπηκόοις τελοῖεν (τοῦτο, ὅπερ οὔπω καὶ νῦν πλὴν ἐπὶ τῆς ἡμετέρας βασιλείας δέδωκε Ῥωμαίοις ὁ θεὸς) ἐπιρρέουσι καὶ ἰδιωτικαὶ φροντίδες, παρὰ τῶν ἡμετέρων ὑπηκόων ἀεὶ προσαγγελλόμεναι.

Ἐπίσκοπος χειροτονείσθω ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν. β'. Πρεσβύτερος ὑπὸ ἑνὸς ἐπισκόπου χειροτονείσθω, καὶ διάκονος, καὶ οἱ λοιποὶ κληρικοί.

γ'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος παρὰ τὴν τοῦ κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ, προσενέγκῃ ἕτερά τινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτά, ἢ ὄρνεις, ἢ ζῶά τινα, ἢ ὄσπρια, ὡς παρὰ τὴν διάταξιν κυρίου ποιῶν, καθαιρείσθω, πλὴν νέων χίδρων ἢ σταφυλῆς τῷ καιρῷ τῷ δέοντι. Μὴ ἐξὸν δὲ ἔστω, προσάγεσθαί τι ἕτερον εἰς τὸ θυσιαστήριον, ἢ ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα τῷ καιρῷ τῆς προσφορᾶς. δ'. Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον. Δῆλον δέ, ὡς ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμερίζουσι τοῖς διακόνοις, καὶ τοῖς λοιποῖς κληρικοῖς. ε'. Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. Ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δέ, καθαιρείσθω. ϛ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μή, καθαιρείσθω. ζ'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν πρὸ τῆς ἐαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσει,

γορίας ὄντες οἱ, κωλυέσθω ἡ χειροτονία. εἰ δὲ ὑπεύθυνος μὴ φανείη, ἡ μὲν χειροτονία, μὴ ἐμποδιζέσθω, ὁ δὲ κατήγορος εἴτε μὴ ἀποδείξειεν, εἴτε καὶ ἐπέφυγεν τὴν προτεθεῖσαν κατ᾽ αὐτοῦ κατηγορίαν, ἐκ τῆς ἐπαρχίας, ἐν ᾗ οἰκεῖ ἐκβαλλέσθω. εἰ δέ τις πρὸ ἐξετάσεως τὸν κατηγορηθέντα χειροτονήσει, ὁ μὲν χειροτονηθεὶς, τῆς ἱερωσύνης ἐξωθείσθω· ὁ δὲ τὸν τοιοῦτον τολμήσας χειροτονῆσαι, τῇ ἀνωτέρω εἰρημένῃ ὑποκείσθω ποινῇ, τοῦτο μὲν ἤδη τῇ ἐπισκοπικῇ κωλύσει τῆς θείας λειτουργίας, τοῦτο δὲ καὶ ἤδη τοῦ πάντα αὐτοῦ τὰ πράγματα τῇ ἐκκλησίᾳ ἐκδικηθῆναι. περὶ δὲ πάντων. &c.

Folio.308.pag.2.uersu.13.themation τὴν μέντοι ἀλόγως &c. est diuersa lectio (quæ in ueteri codice sic habetur) sequẽtis thematij sic incipiẽtis, Εἰ μέντοι πρεσβεῖον τι &c. usq; ad καταλεῖψαι βουληθείη. Quod themation. Εἰ μέντοι &c. sic tamen coniungendum est, post ἐκελεύσαμεν νόμου in.12.uersu eiusdem paginæ.

Item, folio.310.uers.3. a fine pagi.1. καὶ εἴπερ ἡ βιαύτη &c. est uaria lectio sequentis thematij, quod incipit καὶ εἴπερ τις, usq; ad ἐμφερόμενα φυλάττεσθαι &c. quod quidem themation statim subiũgendum est post τὸν μοιχόν. quarto uersu a fine eiusdem paginæ.

ΤΕΛΟΣ.

Ἐν τῇ πόλει Παρισίων, σκιρροφοριῶνος μηνὸς,
ἔτει δευτέρῳ καὶ τεσσαρακοστῷ ἤδη τοῖς
χιλίοις καὶ πεντακοσίοις.